Ακαδημία Αθηνών / Academy of Athens

# Π

**πάθος.** Πάθος, passion, Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν π α θ ῶ ν ἀφαιρεῖται.* Πρβλ. *ἐπιθυμία, ὄρεξις.*

**παιδεία.** Παιδεία/μόρφωση, education, Δημόκριτος 180 *ἡ π α ι δ ε ί α εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.* Πρβλ. *παιδεύειν.*

**παιδεύειν.** Παιδεύω/ἐκπαιδεύω, educate, Δημόκριτος 178 *πάντων κάκιστον ἡ εὐπετείη π α ι δ ε ῦ σ α ι τὴν νεότητα· αὕτη γάρ ἐστιν ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐξ ὧν ἡ κακότης γίνεται* 280 *ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας π α ι δ ε ῦ σ α ί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.* || **οἱ πεπαιδευμένοι** (ἀντίθ. *οἱ ἀμαθεῖς*). Οἱ μορφωμένοι/οἱ καλλιεργημένοι, the educated/the cultured, Δημόκριτος 185 *κρέσσονές εἰσιν αἱ τῶν π ε π α ι δ ε υ μ έ ν ω ν ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.*

**παίζειν.** Παίζω, play, Ἡράκλειτος 52 *αἰὼν παῖς ἐστι π α ί ζ ω ν, πεσσεύων· παιδὸς ἡ βασιληίη* Ἐμπεδοκλῆς 100.9 *παῖς κλεψύδρη π α ί ζ ο υ σ α διειπετέος χαλκοῖο.*

**παῖς** (ἀντίθ. *ἀνήρ, πατήρ*). Παιδί, child, Ἡράκλειτος 20 *γενόμενοι ζώειν ἐθέλουσι ... καὶ π α ῖ δ α ς καταλείπουσι μόρους γενέσθαι* 52 *αἰὼν π α ῖ ς ἐστι παίζων, πεσσεύων· π α ι δ ὸ ς ἡ βασιληίη* 56 *ἐκεῖνόν τε γάρ (*sc. *τὸν Ὅμηρον) π α ῖ δ ε ς φθεῖρας κατακτείνοντες ἐξηπάτησαν* 70 *π α ί δ ω ν ἀθύρματα* 74 *π α ῖ δ α ς τοκεώνων* 79 *ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ π α ῖ ς πρὸς ἀνδρὸς* 117 *ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ π α ι δ ὸ ς ἀνήβου σφαλλόμενος* Ἐμπεδοκλῆς 100.8 *ὥσπερ ὅταν π α ῖ ς κλεψύδρῃ παίζουσα διειπετέος χαλκοῖο* 137.5 *πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα π α ῖ δ ε ς θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδου-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ